ΟΡ. εὖ γ' εἶπας· οὐ γὰρ ζῶ κακοῖς, φάος δ' ὁρῶ.
ΜΕ. ὡς ἠγρίωσαι πλόκαμον αὐχμηρόν, τάλας,
ΟΡ. οὐχ ἡ πρόσοψίς μ', ἀλλὰ τἄργ' αἰκίζεται.
ΜΕ. δεινὸν δὲ λεύσσεις ὀμμάτων ξηραῖς κόραις.
ΟΡ. τὸ σῶμα φροῦδον· τὸ δ' ὄνομ' οὐ λέλοιπέ μοι.
ΜΕ. ὦ παρὰ λόγον μοι σὴ φανεῖσ' ἀμορφία.
ΟΡ. ὅδ' εἰμὶ μητρὸς τῆς ταλαιπώρου φονεύς.
ΜΕ. ἤκουσα· φείδου δ' ὀλιγάκις λέγειν κακά.
ΟΡ. φειδόμεθ'· ὁ δαίμων δ' ἐς ἐμὲ πλούσιος κακῶν.
ΜΕ. τί χρῆμα πάσχεις; τίς σ' ἀπόλλυσιν νόσος;
ΟΡ. ἡ σύνεσις, ὅτι σύνοιδα δείν' εἰργασμένος.
ΜΕ. πῶς φής; σοφόν τοι τὸ σαφές, οὐ τὸ μὴ σαφές.
ΟΡ. λύπη μάλιστά γ' ἡ διαφθείρουσά με,
ΜΕ. δεινὴ γὰρ ἡ θεός, ἀλλ' ὅμως ἰάσιμος.
ΟΡ. μανίαι τε, μητρὸς αἵματος τιμωρίαι.
ΜΕ. ἤρξω δὲ λύσσης πότε; τίς ἡμέρα τότ' ἦν;
ΟΡ. ἐν ᾗ τάλαιναν μητέρ' ἐξώγκουν τάφῳ.
ΜΕ. πότερα κατ' οἴκους ἢ προσεδρεύων πυρᾷ;
ΟΡ. νυκτὸς φυλάσσων ὀστέων ἀναίρεσιν.
ΜΕ. παρῆν τις ἄλλος, ὃς σὸν ὤρθευεν δέμας;
ΟΡ. Πυλάδης γ', ὁ συνδρῶν αἷμα καὶ μητρὸς φόνον.
ΜΕ. ἐκ φασμάτων δὲ τάδε νοσεῖς ποίων ὕπο;
ΟΡ. ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας.
ΜΕ. οἶδ' ἃς ἔλεξας, ὀνομάσαι δ' οὐ βούλομαι.
ΟΡ. σεμναὶ γάρ· εὐπαίδευτα δ' ἀποτρέπου λέγειν.
ΜΕ. αὗταί σε βακχεύουσι συγγενεῖ φόνῳ;
ΟΡ. οἴμοι διωγμῶν, οἷς ἐλαύνομαι τάλας.
ΜΕ. οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους.
ΟΡ. ἀλλ' ἔστιν ἡμῖν ἀναφορὰ τῆς ξυμφορᾶς

---

389. *τε C* 390. *μοι* ABFc *με* E*C* 391. *παρὰ λόγον*] Nauckius, *παράλογον* libri. 394. *εἰς* fere libri. 395. *Ὀρέστα τλῆμον τίς* Stobaeus et Clemens. 397. *τι* AF*C* 400. *μητρός C μητρός θ'* ceteri. 402. schol.: *γράφεται ἐν ᾗ ταλαίνης μητρὸς ἐξώγκουν τάφον.* 403. *τάφῳ C* 406. *γ'*] om. libri. 407. *φαντασμάτων* Bc omisso *ἐκ*. 410. *εὐπαίδευτα δ' ἀποτρέπου λέγειν* AB *εὐπαίδευτ' ἀποτρέπου λέγειν* F *ἀπαίδευτα δ' ἀποτρέπου λέγειν* (*λέγειν*
*ον*
*ἀποτρέπου C*) ceteri. 411. *φόνῳ* A